
ΗΕ

τετράγωνον ἄρα ἐστὶ τὸ ΣΠ· καὶ ἐπεὶ τὸ ὑπὸ τῶν ΑΗ ΗΕ ἴσον ἐστὶ
τῷ ἀπὸ τῆς ΕΖ· ἔστιν ἄρα ὡς ἡ ΑΗ πρὸς ΕΖ, οὕτως
ἡ ΖΕ πρὸς ΕΗ· καὶ ὡς ἄρα τὸ ΑΘ πρὸς ΕΛ, τὸ ΕΛ πρὸς
ΚΕ· τῶν ΑΘ ΗΚ ἄρα μέσον ἀνάλογόν ἐστι τὸ ΕΛ· ἀλ-
λὰ τὸ μὲν ΑΘ ἴσον ἐστὶ τῷ ΣΝ· τὸ δὲ ΗΚ ἴσον τῷ ΝΠ·
τῶν ΣΝ ΝΠ ἄρα μέσον ἀνάλογόν ἐστι τὸ ΕΛ· ἔστι δὲ
δ τ μετὰ — τῶν αὐτῶν τῶν ΣΝ ΝΠ μέσον ἀνάλογον καὶ τὸ ΜΡ· ἴ-
σον ἄρα ἐστὶ τὸ ΜΡ τῷ ΕΛ· ἀλλὰ τὸ μὲν ΜΡ τῷ ΟΞ
ἴσον ἐστίν· τὸ δὲ ΕΛ τῷ ΖΓ· ὅλον ἄρα τὸ ΕΓ τοῖς
ΜΡ ΟΞ ἴσον ἐστίν· ἔστι δὲ καὶ τὰ ΑΘ ΗΚ τοῖς ΣΝ ΝΠ
ἴσα· ὅλον ἄρα τὸ ΑΓ ἴσον ἐστὶν ὅλῳ τῷ ΣΠ, τουτ-
έστι τῷ ἀπὸ τῆς ΜΞ τετραγώνῳ· τὸ ΑΓ ἄρα
δύναται ἡ ΜΞ· λέγω ὅτι ἡ ΜΞ ἐκ δύο ὀνομάτων
ἐστίν· ἐπεὶ γὰρ σύμμετρός ἐστιν ἡ ΑΗ τῇ ΗΕ, σύμμε-
τρός ἐστι καὶ ἡ ΑΕ ἑκατέρᾳ τῶν ΑΗ ΗΕ· ὑπόκει-
ται δὲ καὶ ἡ ΑΕ τῇ ΑΒ σύμμετρος (μήκει)· καὶ αἱ ΑΗ ΗΕ ἄρα
τῇ ΑΒ σύμμετροί εἰσιν· καί ἐστι ῥητὴ ἡ ΑΒ· ῥητὴ
ἄρα ἐστὶν καὶ ἑκατέρα τῶν ΑΗ ΗΕ· ῥητὸν ἄρα ἐστὶν
ἑκάτερον τῶν ΑΘ ΗΚ· καί ἐστι σύμμετρον τὸ ΑΘ
τῷ ΗΚ· ἀλλὰ τὸ μὲν ΑΘ τῷ ΣΝ ἴσον ἐστί· τὸ δὲ
ΗΚ τῷ ΝΠ· καὶ τὰ ΣΝ ΝΠ ἄρα, τουτέστι τὰ ἀπὸ
τῶν ΜΝ ΝΞ, ῥητά ἐστι καὶ σύμμετρα· καὶ ἐπεὶ ἀ-
σύμμετρός ἐστιν ἡ ΑΕ τῇ ΕΔ μήκει· ἀλλ' ἡ μὲν
ΑΕ τῇ ΑΗ ἐστὶ σύμμετρος· ἡ δὲ ΔΕ τῇ ΕΖ σύμμε-
τρος· ἀσύμμετρος ἄρα καὶ ἡ ΑΗ τῇ ΕΖ· ὥστε καὶ
τὸ ΑΘ τῷ ΕΛ ἀσύμμετρον· ἀλλὰ τὸ μὲν ΑΘ τῷ ΣΝ

ἐστὶν ἴσον· τὸ δὲ ΕΛ τῷ ΜΡ· καὶ τὸ ΣΝ ἄρα τῷ ΜΡ ἀσύμ-
μετρόν ἐστιν· ἀλλ' ὡς τὸ ΣΝ πρὸς ΜΡ, ἡ ΟΝ πρὸς ΝΡ·
ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΟΝ τῇ ΝΡ· ἴση δὲ ἡ μὲν ΟΝ
τῇ ΜΝ· ἡ δὲ ΝΡ τῇ ΝΞ· ἀσύμμετρος ἄρα ἐστὶν ἡ
ΜΝ τῇ ΝΞ· καί ἐστι τὸ ἀπὸ ΜΝ σύμμετρον τῷ ἀπὸ
τῆς ΝΞ· καὶ ῥητὸν ἑκάτερον· αἱ ΜΝ ΝΞ ἄρα ῥη-
ταί εἰσιν δυνάμει μόνον σύμμετροι· ἡ ΜΞ ἄρα ἐκ
δύο ὀνομάτων ἐστὶ καὶ δύναται τὸ ΑΓ· ὅπερ ἔδει δεῖξαι:-



νε — Ἐὰν χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ τῆς ἐκ δύο
ὀνομάτων δευτέρας, ἡ τὸ χωρίον δυναμένη ἄλο-
γός ἐστιν ἡ καλουμένη ἐκ δύο μέσων πρώτη. πε-
ριεχέσθω γὰρ τὸ χωρίον τὸ ΑΒΓΔ ὑπὸ ῥητῆς τῆς
ΑΒ καὶ τῆς ἐκ δύο ὀνομάτων δευτέρας τῆς ΑΔ·
λέγω ὅτι ἡ τὸ ΑΓ χωρίον δυναμένη ἐκ δύο μέσων
πρώτη ἐστίν· ἐπεὶ γὰρ ἐκ δύο ὀνομάτων δευτέρα ἐστὶν
ἡ ΑΔ, διῃρήσθω εἰς τὰ ὀνόματα κατὰ τὸ Ε· ὥστε
τὸ μεῖζον ὄνομα εἶναι τὸ ΑΕ· αἱ ΑΕ ΕΔ ἄρα ῥηταί
εἰσι δυνάμει μόνον σύμμετροι· καὶ ἡ ΑΕ τῆς ΕΔ — δ τ κ ο τ ι

